22.24–30 not present in QnLk1302	Jn2 13.4. ἐγείρεται ἐκ τοῦ δείπνου καὶ τίθησιν τὰ ἱμάτια καὶ λαβὼν λέντιον διέζωσεν ἑαυτόν· Jn2 13.5. εἶτα βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα καὶ ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν καὶ ἐκμάσσειν τῷ λεντίῳ ᾧ ἦν διεζωσμένος. Jn2 13.12. ὅτε οὖν ἔνιψεν τοὺς πόδας αὐτῶν [καὶ] ἔλαβεν τὰ ἱμάτια αὐτοῦ καὶ ἀνέπεσεν πάλιν, εἶπεν αὐτοῖς· γινώσκετε τί πεποίηκα ὑμῖν; Jn2 13.13. ὑμεῖς φωνεῖτέ με· ὁ διδάσκαλος, καί· ὁ κύριος, καὶ καλῶς λέγετε· εἰμὶ γάρ. Jn2 13.14. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας ὁ κύριος καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε ἀλλήλων νίπτειν τοὺς πόδας. Jn2 13.15. ὑπόδειγμα γὰρ ἔδωκα ὑμῖν ἵνα καθὼς ἐγὼ ἐποίησα ὑμῖν καὶ ὑμεῖς ποιῆτε. Jn2 13.16. ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐκ ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. Jn2 13.17. εἰ ταῦτα οἴδατε, μακάριοί ἐστε ἐὰν ποιῆτε αὐτά.	Lk2 22.24. ἐγένετο δὲ καὶ φιλονεικία ἐν αὐτοῖς, τὸ τίς αὐτῶν δοκεῖ εἶναι μείζων. Lk2 22.25. ὁ δὲ εἶπεν αὐτοῖς· οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύουσιν αὐτῶν καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται καλοῦνται. Lk2 22.26. ὑμεῖς δὲ οὐχ οὕτως, ἀλλ᾽ ὁ μείζων ἐν ὑμῖν γινέσθω ὡς ὁ νεώτερος καὶ ὁ ἡγούμενος ὡς ὁ διακονῶν. Lk2 22.27. τίς γὰρ μείζων, ὁ ἀνακείμενος ἢ ὁ διακονῶν; οὐχὶ ὁ ἀνακείμενος; ἐγὼ δὲ ἐν μέσῳ ὑμῶν εἰμι ὡς ὁ διακονῶν. Lk2 22.28. ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες μετ᾽ ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· Lk2 22.29. κἀγὼ διατίθεμαι ὑμῖν καθὼς διέθετό μοι ὁ πατήρ μου βασιλείαν, Lk2 22.30. ἵνα ἔσθητε καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου, καὶ καθήσεσθε ἐπὶ θρόνων τὰς δώδεκα φυλὰς κρίνοντες τοῦ Ἰσραήλ.	Mt2 20.20. τότε προσῆλθεν αὐτῷ ἡ μήτηρ τῶν υἱῶν Ζεβεδαίου μετὰ τῶν υἱῶν αὐτῆς προσκυνοῦσα καὶ αἰτοῦσά τι ἀπ᾽ αὐτοῦ. Mt2 20.21. ὁ δὲ εἶπεν αὐτῇ· τί θέλεις; λέγει αὐτῷ· εἰπὲ ἵνα καθίσωσιν οὗτοι οἱ δύο υἱοί μου εἷς ἐκ δεξιῶν σου καὶ εἷς ἐξ εὐωνύμων σου ἐν τῇ βασιλείᾳ σου. Mt2 20.22. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ μέλλω πίνειν; λέγουσιν αὐτῷ· δυνάμεθα. Mt2 20.23. λέγει αὐτοῖς· τὸ μὲν ποτήριόν μου πίεσθε, τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν [τοῦτο] δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται ὑπὸ τοῦ πατρός μου. Mt2 20.24. καὶ ἀκούσαντες οἱ δέκα ἠγανάκτησαν περὶ τῶν δύο ἀδελφῶν. Mt2 20.25. ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐτοὺς εἶπεν· οἴδατε ὅτι οἱ ἄρχοντες τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι κατεξουσιάζουσιν αὐτῶν. Mt2 20.26. οὐχ οὕτως ἔσται ἐν ὑμῖν, ἀλλ᾽ ὃς ἐὰν θέλῃ ἐν ὑμῖν μέγας γενέσθαι ἔσται ὑμῶν διάκονος, Mt2 20.27. καὶ ὃς ἂν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔσται ὑμῶν δοῦλος· Mt2 20.28. ὥσπερ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν. Mt2 19.28. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· ἀμὴν λέγω ὑμῖν ὅτι ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθίσῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, καθήσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.	Mk3 10.35. καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης οἱ υἱοὶ Ζεβεδαίου λέγοντες αὐτῷ· διδάσκαλε, θέλομεν ἵνα ὃ ἐὰν αἰτήσωμέν σε ποιήσῃς ἡμῖν. Mk3 10.36. ὁ δὲ εἶπεν αὐτοῖς· τί θέλετέ [με] ποιήσω ὑμῖν; Mk3 10.37. οἱ δὲ εἶπαν αὐτῷ· δὸς ἡμῖν ἵνα εἷς σου ἐκ δεξιῶν καὶ εἷς ἐξ ἀριστερῶν καθίσωμεν ἐν τῇ δόξῃ σου. Mk3 10.38. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· οὐκ οἴδατε τί αἰτεῖσθε. δύνασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω ἢ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθῆναι; Mk3 10.39. οἱ δὲ εἶπαν αὐτῷ· δυνάμεθα. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς· τὸ ποτήριον ὃ ἐγὼ πίνω πίεσθε καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι βαπτισθήσεσθε, Mk3 10.40. τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου ἢ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ᾽ οἷς ἡτοίμασται. Mk3 10.41. καὶ ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώβου καὶ Ἰωάννου. Mk3 10.42. καὶ προσκαλεσάμενος αὐτοὺς ὁ Ἰησοῦς λέγει αὐτοῖς· οἴδατε ὅτι οἱ δοκοῦντες ἄρχειν τῶν ἐθνῶν κατακυριεύουσιν αὐτῶν καὶ οἱ μεγάλοι αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. Mk3 10.43. οὐχ οὕτως δέ ἐστιν ἐν ὑμῖν, ἀλλ᾽ ὃς ἂν θέλῃ μέγας γενέσθαι ἐν ὑμῖν ἔσται ὑμῶν διάκονος, Mk3 10.44. καὶ ὃς ἂν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔσται πάντων δοῦλος· Mk3 10.45. καὶ γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθεν διακονηθῆναι ἀλλὰ διακονῆσαι καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ πολλῶν.

[302] Lk2 22.23–32 are entirely unattested according to *R* (433), and Lk2 22.24–30 in particular were most likely not present. *CEQ* does include 22.28 and 22.30, so we will reconsider this material once we have reached a greater state of clarity about the relevant strata. Characteristic Lk2 features include: "nation" / ἔθνος (especially in the plural), the intensive negative adverb οὐχὶ as part of a rhetorical question, and "Israel" / Ἰσραήλ (IDD 1.1); "now it happened" / γίνομαι@v\w+ δέ@ narrative transitional bigram, use of crasis, arthrous substantive participle / ὁ@w+ \w+@vp (eight times!), periphrastic participle / εἰμί@\w+ (?:\w+@\w+){0:1}\w+@vp, and future middle verb / @v\w{1}fm (IDD 1.2).

SQE. Shorthand	Qn (65–69) Lk1 (80s)	Jn1 (100–110)	Jn2 (110–117)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
A315. Denial predicted	22.33–34	13.36a, 37b–38	13.36–38		22.31–34	14.26–31	26.30–35

Parallel Verses for Signals Tracing: Ev 22.~~31–32~~, 33

Qn (65–69) Lk1 (80s)	Jn1 (100–110)	Jn2 (110–117)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
22.31–32 QnLk1 22.33 [under evaluation]	Jn1 13.36a. λέγει αὐτῷ Σίμων Πέτρος· κύριε, ποῦ ὑπάγεις; Jn1 13.37b. διὰ τί οὐ δύναμαί σοι ἀκολουθῆσαι ἄρτι; τὴν ψυχήν μου ὑπὲρ σοῦ θήσω.	Jn2 13.36a same as Jn1 Jn2 13.36b–c. ἀπεκρίθη [αὐτῷ] Ἰησοῦς· ὅπου ὑπάγω οὐ δύνασαί μοι νῦν ἀκολουθῆσαι, ἀκολουθήσεις δὲ ὕστερον. Jn2 13.37a. λέγει αὐτῷ ὁ Πέτρος· κύριε, Jn2 13.37b same as Jn1		Lk2 22.31. Σίμων Σίμων, ἰδοὺ ὁ σατανᾶς ἐξῃτήσατο ὑμᾶς τοῦ σινιάσαι ὡς τὸν σῖτον· [CINP] Lk2 22.32. ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ ἵνα μὴ ἐκλίπῃ ἡ πίστις σου· καὶ σύ ποτε ἐπιστρέψας στήρισον τοὺς ἀδελφούς σου. [CINP] Lk2 22.33. ὁ δὲ εἶπεν αὐτῷ· κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι.	Mk2 14.26. καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. Mk2 14.27. καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι πάντες σκανδαλισθήσεσθε, ὅτι γέγραπται· πατάξω τὸν ποιμένα, καὶ τὰ πρόβατα διασκορπισθήσονται. Mk2 14.28. ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Mk2 14.29. ὁ δὲ Πέτρος ἔφη αὐτῷ· εἰ καὶ πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ.	Mt2 26.30. καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. Mt2 26.31. τότε λέγει αὐτοῖς ὁ Ἰησοῦς· πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ, γέγραπται γάρ· πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα τῆς ποίμνης. Mt2 26.32. μετὰ δὲ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Mt2 26.33. ἀποκριθεὶς δὲ ὁ Πέτρος εἶπεν αὐτῷ· εἰ πάντες σκανδαλισθήσονται ἐν σοί, ἐγὼ οὐδέποτε σκανδαλισθήσομαι.

Lk2 22.23–32 are altogether unattested according to *R* (433), but 22.31–32 was likely not present. Characteristic LkR2 features include: the lemmata "behold" / ἰδοὺ (IDD 1.1); a lemma with the root "turn" / στρέφ\w+@ (IDD 1.2); an intense focus on Petrine authority and his future restoration (IDD 1.4)

Lk1 22.33 is attested but according to *R* "no insight into wording can be gained" (433). T clearly summarizes 22.33 and 22.34 together: "For even when fixing Peter instead for denial, after he uttered something presumptuously, a jealous god is made clear for you" / *nam et Petrum praesumptorie aliquid elocutum negationi potius destinando zeloten deum tibi ostendit* (*Marc.* 4.41.2; SC 456:504; Evans 496). Certainly Peter is invoked as the subject of the verse, and a speech act for him is confirmed. Johannine and synoptic content will need to be carefully scrutinized, and characteristic Lk2 features omitted, to recover the most plausible form of this saying.

Qn (65–69) Lk1 (80s)	Jn1 (100–110)	Jn2 (110–117)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
QnLk1 22.34. ἀπαρνήσῃ	Jn1 13.38. ἀποκρίνεται Ἰησοῦς· τὴν ψυχήν σου ὑπὲρ ἐμοῦ θήσεις; ἀμὴν ἀμὴν λέγω σοι, οὐ μὴ ἀλέκτωρ φωνήσῃ ἕως οὗ ἀρνήσῃ με τρίς.	Jn2 13.38 same as Jn1		Lk2 22.34· ὁ δὲ εἶπεν· λέγω σοι, Πέτρε, οὐ φωνήσει σήμερον ἀλέκτωρ ἕως τρίς με ἀπαρνήσῃ εἰδέναι.	14.30. καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι ὅτι σὺ σήμερον ταύτῃ τῇ νυκτὶ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι τρίς με ἀπαρνήσῃ. 14.31. ὁ δὲ ἐκπερισσῶς ἐλάλει· ἐὰν δέῃ με συναποθανεῖν σοι, οὐ μή σε ἀπαρνήσομαι. ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.	Mt2 26.34· ἔφη αὐτῷ ὁ Ἰησοῦς· ἀμὴν λέγω σοι ὅτι ἐν ταύτῃ τῇ νυκτὶ πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με. Mt2 26.35· λέγει αὐτῷ ὁ Πέτρος· κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν, οὐ μή σε ἀπαρνήσομαι. ὁμοίως καὶ πάντες οἱ μαθηταὶ εἶπαν.

Lk1 22.34 is attested in T (R 5.91).

SQE. Shorthand	Qn (65–69) Lk1 (80s)	Lk2 (117–138)
A316. Two swords	———	22.35–38

Qn (65–69) Lk1 (80s)	Lk2 (117–138)
22.35–38 not present in QnLk1	Lk2 22.35· καὶ εἶπεν αὐτοῖς· ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ βαλλαντίου καὶ πήρας καὶ ὑποδημάτων, μή τινος ὑστερήσατε; οἱ δὲ εἶπαν· οὐθενός. [CENP] Lk2 22.36· εἶπεν δὲ αὐτοῖς· ἀλλὰ νῦν ὁ ἔχων βαλλάντιον ἀράτω, ὁμοίως καὶ πήραν, καὶ ὁ μὴ ἔχων πωλησάτω τὸ ἱμάτιον αὐτοῦ καὶ ἀγορασάτω μάχαιραν. [CENP] Lk2 22.37· λέγω γὰρ ὑμῖν ὅτι τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν ἐμοί, τό· καὶ μετὰ ἀνόμων ἐλογίσθη· καὶ γὰρ τὸ περὶ ἐμοῦ τέλος ἔχει. [CENP] Lk2 22.38· οἱ δὲ εἶπαν· κύριε, ἰδοὺ μάχαιραι ὧδε δύο. ὁ δὲ εἶπεν αὐτοῖς· ἱκανόν ἐστιν. [CENP]

Lk2 22.35–38 was not present according to E: "He deceptively cut out, 'When I sent you, did you lack anything?' etc., 'And this is necessary to complete what was written, that "he was counted among the lawless"'" / παρέκοψε τό ὅτε ἀπέστειλα ὑμᾶς, μή τινος ὑστερήσατε; καὶ τὰ ἑξῆς, διὰ τό καὶ τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι, τό καὶ μετὰ ἀνόμων συνελογίσθη (*Pan.* 42.11.6 ξδ (64); 42.11.17 Σχ. ξδ (64); GCS 31:116, 150). Ev editors concur: *R* (433). Numerous LkR2 features are evident: the lemmata "for" / γὰρ (*bis*), "now" / νῦν, and "behold" / ἰδοὺ (IDD 1.1); the bigram "what has been written" / τὸ γεγραμμένον (IDD 1.2); LXX quotation, question and answer dialogue, salvation-historical fulfillment (IDD 1.4).

SQE. Shorthand	Qn (65–69) Lk1 (80s)	Jn1 (100–110)	Jn2 (110–117)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
A330. Gethsemane	22.41	18.1	12.27, 18.1		22.39–46	14.32–42	26.36–46

Parallel Verses for Signals Tracing: Ev 22.39–40, 41

Qn (65–69) Lk1 (80s)	Jn1 (100–110)	Jn2 (110–117)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
22.39–40 QnLk1 22.41. 《καὶ αὐτὸς》 ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολὴν καὶ θεὶς τὰ γόνατα προσηύχετο	Jn1 18.1. ταῦτα εἰπὼν Ἰησοῦς ἐξῆλθεν σὺν τοῖς μαθηταῖς αὐτοῦ πέραν τοῦ χειμάρρου τοῦ Κεδρὼν ὅπου ἦν κῆπος, εἰς ὃν εἰσῆλθεν αὐτὸς καὶ οἱ μαθηταὶ αὐτοῦ.	Jn2 12.27. νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης; ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην.		Lk2 22.39. καὶ ἐξελθὼν ἐπορεύθη κατὰ τὸ ἔθος εἰς τὸ ὄρος τῶν ἐλαιῶν, ἠκολούθησαν δὲ αὐτῷ καὶ οἱ μαθηταί. [CINP] Lk2 22.40. γενόμενος δὲ ἐπὶ τοῦ τόπου εἶπεν αὐτοῖς· προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν. [CINP] Lk2 22.41. καὶ αὐτὸς ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολὴν καὶ θεὶς τὰ γόνατα προσηύχετο	Mk2 14.32. καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανὶ καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ· καθίσατε ὧδε ἕως προσεύξωμαι. Mk2 14.33. καὶ παραλαμβάνει τὸν Πέτρον καὶ [τὸν] Ἰάκωβον καὶ [τὸν] Ἰωάννην μετ' αὐτοῦ καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν Mk2 14.34. καὶ λέγει αὐτοῖς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε. Mk2 14.35. καὶ προελθὼν μικρὸν ἔπιπτεν ἐπὶ τῆς γῆς καὶ προσηύχετο ἵνα εἰ δυνατόν ἐστιν παρέλθῃ ἀπ' αὐτοῦ ἡ ὥρα,	Mt2 26.36. τότε ἔρχεται μετ' αὐτῶν ὁ Ἰησοῦς εἰς χωρίον λεγόμενον Γεθσημανὶ καὶ λέγει τοῖς μαθηταῖς· καθίσατε αὐτοῦ ἕως [οὗ] ἀπελθὼν ἐκεῖ προσεύξωμαι. Mt2 26.37. καὶ παραλαβὼν τὸν Πέτρον καὶ τοὺς δύο υἱοὺς Ζεβεδαίου ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν. Mt2 26.38. τότε λέγει αὐτοῖς· περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε μετ' ἐμοῦ. Mt1 26.39a. καὶ προελθὼν μικρὸν ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ προσευχόμενος καὶ λέγων· πάτερ μου, εἰ δυνατόν ἐστιν, παρελθάτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ' ὡς σύ.

Lk2 22.39–40 is not attested by patristic witnesses according to *R* (433). These verses have several characteristic LkR2 features: the lemmata "custom" / ἔθος and "place" / τόπος, as well as a participial form of "become" / γίνομαι (IDD 1.1); the expression "according to custom" / κατὰ τὸ ἔθος, a middle participle / @vp?m, and a nominative participle + δέ introductory bigram (IDD 1.2);

Lk1 22.41 is quoted verbatim by E: "He withdrew from them about a stone's throw and getting on his knees he prayed" / ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολὴν καὶ θεὶς τὰ γόνατα προσηύχετο (*Pan.* 42.11.6 ξε (65); 42.11.17 Σχ. ξε (65); partly restated in 42.11.17 Ἔλ. ξε (65); GCS 31:116, 150). A restatement of Lk2 22.41 in the section on the Arians (*Pan.* 69.60.1; GCS 37:208) has no bearing on the reconstruction of Ev here. 𝔓⁶⁹, which has been taken by some scholars as a witness to Ev, does attest the words "and he" / καὶ αὐτὸς, but this aligns with majority Lk2 mss tradition. Either way, these words are reasonable as an improvised restoration.

Qn (65–69) Lk1 (80s)	Jn2 (110–117)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
22.42–44 not present in QnLk1 QnLk1 22.45. καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας κοιμωμένους ἀπὸ τῆς λύπης [in process / under evaluation] QnLk1 22.46. καὶ εἶπεν αὐτοῖς· τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν [in process / under evaluation]	12.27. νῦν ἡ ψυχή μου τετάρακται, καὶ τί εἴπω; πάτερ, σῶσόν με ἐκ τῆς ὥρας ταύτης; ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην.		Lk2 22.42. λέγων· <u>πάτερ</u>, εἰ βούλει παρένεγκε τοῦτο τὸ ποτήριον ἀπ' ἐμοῦ· πλὴν μὴ τὸ θέλημά μου ἀλλὰ τὸ σὸν γινέσθω. [CINP] Lk2 22.43. ὤφθη δὲ αὐτῷ ἄγγελος ἀπ' οὐρανοῦ ἐνισχύων αὐτόν. [CINP] Lk2 22.44. καὶ γενόμενος ἐν ἀγωνίᾳ ἐκτενέστερον προσηύχετο· καὶ ἐγένετο ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες ἐπὶ τὴν γῆν. [CINP] Lk2 22.45a. καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς [CINP] Lk2 22.45b. ἐλθὼν πρὸς τοὺς μαθητὰς εὗρεν κοιμωμένους αὐτοὺς ἀπὸ τῆς λύπης, [QnLk1˙Lk2?] [CINP-] Lk2 22.46. καὶ εἶπεν αὐτοῖς· τί καθεύδετε; ἀναστάντες προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. [QnLk1˙Lk2?] [CINP-]	14.36. καὶ ἔλεγεν· αββα ὁ πατήρ, πάντα δυνατά σοι· παρένεγκε τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· ἀλλ' οὐ τί ἐγὼ θέλω ἀλλὰ τί σύ. 14.37. καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· Σίμων, καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν γρηγορῆσαι; 14.38. γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ ἔλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον ἡ δὲ σὰρξ ἀσθενής. 14.39. καὶ πάλιν ἀπελθὼν προσηύξατο τὸν αὐτὸν λόγον εἰπών. 14.40. καὶ πάλιν ἐλθὼν εὗρεν αὐτοὺς καθεύδοντας, ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ καταβαρυνόμενοι, καὶ οὐκ ᾔδεισαν τί ἀποκριθῶσιν αὐτῷ. 14.41. καὶ ἔρχεται τὸ τρίτον καὶ λέγει αὐτοῖς· καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε· ἀπέχει· ἦλθεν ἡ ὥρα, ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν ἁμαρτωλῶν. 14.42. ἐγείρεσθε ἄγωμεν· ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν.	26.39b. πάτερ μου, εἰ δυνατόν ἐστιν, παρελθάτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν οὐχ ὡς ἐγὼ θέλω ἀλλ' ὡς σύ. 26.40. καὶ ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας, καὶ λέγει τῷ Πέτρῳ· οὕτως οὐκ ἰσχύσατε μίαν ὥραν γρηγορῆσαι μετ' ἐμοῦ; 26.41. γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον ἡ δὲ σὰρξ ἀσθενής. 26.42. πάλιν ἐκ δευτέρου ἀπελθὼν προσηύξατο λέγων· πάτερ μου, εἰ οὐ δύναται τοῦτο παρελθεῖν ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου. 26.43. καὶ ἐλθὼν πάλιν εὗρεν αὐτοὺς καθεύδοντας, ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ βεβαρημένοι. 26.44. καὶ ἀφεὶς αὐτοὺς πάλιν ἀπελθὼν προσηύξατο ἐκ τρίτου τὸν αὐτὸν λόγον εἰπὼν πάλιν. 26.45. τότε ἔρχεται πρὸς τοὺς μαθητὰς καὶ λέγει αὐτοῖς· καθεύδετε [τὸ] λοιπὸν καὶ ἀναπαύεσθε· ἰδοὺ ἤγγικεν ἡ ὥρα καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἁμαρτωλῶν. 26.46. ἐγείρεσθε ἄγωμεν· ἰδοὺ ἤγγικεν ὁ παραδιδούς με.

Lk2 22.42–46 are unattested according to *R* (433), but Lk2 22.42–45a were most likely not present in Lk1, while any decision about 22.45b–46 hinges significantly on one's evaluation of 𝔓[69] as a possible witness to Ev. B. Ehrman and M. A. Plunkett made the widely-accepted argument that the drops of blood are a later interpolation to canonical Luke; see "The Angel and the Agony: The Textual Problem of Luke 22:43–44", *CBQ* 45 (1983) 401–416; an argument which led to major revisions to UBS4 and other critical editions. More recently, Clivaz has carefully examined the breadth and depth of evidence for her thorough argument—first suggested by F. Bovon (429n80)—that 𝔓[69] corresponds to Ev in regard to the absence of Luke 22.42–45a: "The Angel and the Sweat like 'Drops of Blood' (Lk 22:43–44): 𝔓[69] and *f*[13]", *HTR* 98.4 (2005): 419–440; jstor.org/stable/4125275. While Lk2 22.43–44 is absent from 𝔓[75] and is relocated in *f*[13] to appear after Matt 26.39, Clivaz crucially notes that Lk 22.44 is present in the neglected early fragment 0171 and that the polemic of Celsus called specific attention to the divergent versions of this tradition (Origen, *Contra Celsum* 2.27). Working from the traditional assumption of Marcion as a later editor of an earlier textual tradition, Clivaz explains the omission in terms of Marcion's theology (431), rather than as an attestation of an earlier version of Luke, as it is read here.

SQE. Shorthand	Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	Jn1 (100–110)	GP (115–117)	Lk2 (117–138)
A331. Arrest	22.47–48	14.43–52	26.47–56	18.2–12		22.47–53

Qn (65–69) Lk1 (80s)	Jn1 (100–110)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
QnLk1 22.47· καὶ ⌈Ἰούδας⌉ ἤγγισε ⌈καταφιλῆσαι⌉ αὐτόν [in process / under evaluation]	18.2. 18.3.		Lk2 22.47· ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ ὄχλος, καὶ ὁ λεγόμενος Ἰούδας εἷς τῶν δώδεκα προήρχετο αὐτοὺς καὶ ἤγγισεν τῷ Ἰησοῦ φιλῆσαι αὐτόν.	14.43. καὶ εὐθὺς ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται Ἰούδας εἷς τῶν δώδεκα καὶ μετ᾽ αὐτοῦ ὄχλος μετὰ μαχαιρῶν καὶ ξύλων παρὰ τῶν ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων. 14.44. δεδώκει δὲ ὁ παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς λέγων· ὃν ἂν φιλήσω αὐτός ἐστιν, κρατήσατε αὐτὸν καὶ ἀπάγετε ἀσφαλῶς. 14.45. καὶ ἐλθὼν εὐθὺς προσελθὼν αὐτῷ λέγει· ῥαββί, καὶ κατεφίλησεν αὐτόν·	26.47. καὶ ἔτι αὐτοῦ λαλοῦντος ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθεν καὶ μετ᾽ αὐτοῦ ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων ἀπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. 26.48. ὁ δὲ παραδιδοὺς αὐτὸν ἔδωκεν αὐτοῖς σημεῖον λέγων· ὃν ἂν φιλήσω αὐτός ἐστιν, κρατήσατε αὐτόν. 26.49. καὶ εὐθέως προσελθὼν τῷ Ἰησοῦ εἶπεν· χαῖρε, ῥαββί, καὶ κατεφίλησεν αὐτόν.

Lk1 22.47 may be summarized by T, but is clearly quoted in E. T states: "It was necessary indeed that the prophetic messiah be betrayed with a kiss" / *debuit etiam osculo tradi propheticus scilicet Christus* (*Marc.* 4.41.2; SC 456:504; Evans 496). E provides far more to consider: "And Judas drew near to kiss him and he said" / καὶ ἤγγισε καταφιλῆσαι αὐτόν Ἰούδας καὶ εἶπεν (*Pan.* 42.11.6 ξ̅ϛ̅ (66); 42.11.17 Σχ. ξ̅ϛ̅ (66); GCS 31:116, 150). In the elenchus he restates this, but makes no reference to a speech act by Judas: "He drew near to master who was in a body and god having taken a body, to kiss real lips and did not think them apparitions" / Ἤγγισε σαρκὶ ὄντι δεσπότῃ καὶ θεῷ σῶμα λαβόντι, καταφιλῆσαι ἀληθινὰ χείλη καὶ οὐ δοκήσει ὄντα καὶ φαντάζοντα (*Pan.* 42.11.17 Ἔλ. ξ̅ϛ̅ (66); GCS 31:151). E recounts the story of Judas' betrayal in other sections. In the book against the Cainites, he states, "Thus Judas also says, 'What are you willing to give me, and I will hand him over to him?' And 'Whoever I kiss is the very one, arrest him'. And when the betrayer arrived, 'Friend, rabbi', he said" / οὕτω καὶ ὁ Ἰούδας τί θέλετέ μοι φησί δοῦναι, καὶ ἐγὼ αὐτὸν παραδώσω ὑμῖν; καί ὃν ἂν φιλήσω, αὐτός ἐστι, κρατήσατε αὐτόν. καὶ ἐλθὼν ὁ προδότης χαῖρε Ῥαββί ἔλεγε (*Pan.* 38.4.13; GCS 31:68). In the book against the Manicheans, he states, "and saying to him, 'Hail, rabbi!' and being reproached and hearing, 'Companion, for what have you come?' This Judas imitated Cain" / καὶ λέγων αὐτῷ χαῖρε Ῥαββί, καὶ ἐλεγχόμενος καὶ ἀκούων, ἑταῖρε, ἐφ᾽ ᾧ πάρει; οὗτος ὁ Ἰούδας ἐμιμήσατο τὸν Κάϊν (*Pan.* 66.63.9–10; GCS 37:102). Both of these references involve elaborate speech acts characteristic of later strata, and neither has any viable material for the reconstruction of Ev. *ZRN* restore "and he said" / καὶ εἶπεν as part of this verse, introducing a speech act by Judas, whereas *BK* place it at the beginning of the next verse, as do I, thus introducing the response of Jesus. Characteristic Lk2 features added include: the lemma "behold" / ἰδοὺ (IDD 1.1).

Qn (65–69) Lk1 (80s)		Jn1 (100–110)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
QnLk1 22.48. ⟨καὶ εἶπεν⟩ ⟪Ἰησοῦς αὐτῷ⟫ φιλήματι παραδίδως [in process / under evaluation]	18.4. 18.5. 18.6. 18.7. 18.8. 18.9.			Lk2 22.48. Ἰησοῦς δὲ εἶπεν αὐτῷ· Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως;	14.46. οἱ δὲ ἐπέβαλον τὰς χεῖρας αὐτῷ καὶ ἐκράτησαν αὐτόν.	26.50. ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ· ἑταῖρε, ἐφ᾽ ὃ πάρει. τότε προσελθόντες ἐπέβαλον τὰς χεῖρας ἐπὶ τὸν Ἰησοῦν καὶ ἐκράτησαν αὐτόν.

Lk1 22.48 may be briefly summarized, together with Lk1 22.47, by T: "It was necessary indeed that the prophetic messiah be betrayed with a kiss" / *debuit etiam osculo tradi propheticus scilicet Christus* (*Marc.* 4.41.2; SC 456:504; Evans 496). E may briefly quote the opening of this verse, following the clear quotation of Lk1 22.47: "And Judas drew near to kiss him and he said" / καὶ ἤγγισε καταφιλῆσαι αὐτόν Ἰούδας καὶ εἶπεν (*Pan.* 42.11.6 ξϛ (66); 42.11.17 Σχ. ξϛ (66); restated in 42.11.17 Ἔλ. ξϛ (66); GCS 31:116, 150).

Qn (65–69) Lk1 (80s)	Jn1 (100–110)	GP (115–117)	Lk2 (117–138)	Mk2 (140s)	Mt2 (140s)
22.49–53 not present in Lk1	18.9. 18.10. 18.11. 18.12.		Lk2 22.49. ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσόμενον εἶπαν· κύριε, εἰ πατάξομεν ἐν μαχαίρῃ; [CENP] Lk2 22.50. καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τοῦ ἀρχιερέως τὸν δοῦλον καὶ ἀφεῖλεν τὸ οὖς αὐτοῦ τὸ δεξιόν. [CENP] Lk2 22.51. ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν· ἐᾶτε ἕως τούτου· καὶ ἁψάμενος τοῦ ὠτίου ἰάσατο αὐτόν. [CENP] Lk2 22.52. εἶπεν δὲ Ἰησοῦς πρὸς τοὺς παραγενομένους ἐπ᾽ αὐτὸν ἀρχιερεῖς καὶ στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσβυτέρους· ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων; [CENP] Lk2 22.53. καθ᾽ ἡμέραν ὄντος μου μεθ᾽ ὑμῶν ἐν τῷ ἱερῷ οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ᾽ ἐμέ, ἀλλ᾽ αὕτη ἐστὶν ὑμῶν ἡ ὥρα καὶ ἡ ἐξουσία τοῦ σκότους. [CENP]	14.47. εἷς δέ [τις] τῶν παρεστηκότων σπασάμενος τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ ἀφεῖλεν αὐτοῦ τὸ ὠτάριον. 14.48. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; 14.49. καθ᾽ ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων καὶ οὐκ ἐκρατήσατέ με· ἀλλ᾽ ἵνα πληρωθῶσιν αἱ γραφαί. 14.50. καὶ ἀφέντες αὐτὸν ἔφυγον πάντες. 14.51. καὶ νεανίσκος τις συνηκολούθει αὐτῷ περιβεβλημένος σινδόνα ἐπὶ γυμνοῦ, καὶ κρατοῦσιν αὐτόν· 14.52. ὁ δὲ καταλιπὼν τὴν σινδόνα γυμνὸς ἔφυγεν.	26.51. καὶ ἰδοὺ εἷς τῶν μετὰ Ἰησοῦ ἐκτείνας τὴν χεῖρα ἀπέσπασεν τὴν μάχαιραν αὐτοῦ καὶ πατάξας τὸν δοῦλον τοῦ ἀρχιερέως ἀφεῖλεν αὐτοῦ τὸ ὠτίον. 26.52. τότε λέγει αὐτῷ ὁ Ἰησοῦς· ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρῃ ἀπολοῦνται. 26.53. ἢ δοκεῖς ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν πατέρα μου, καὶ παραστήσει μοι ἄρτι πλείω δώδεκα λεγιῶνας ἀγγέλων; 26.54. πῶς οὖν πληρωθῶσιν αἱ γραφαὶ ὅτι οὕτως δεῖ γενέσθαι; 26.55. Ἐν ἐκείνῃ τῇ ὥρᾳ εἶπεν ὁ Ἰησοῦς τοῖς ὄχλοις· ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με; καθ᾽ ἡμέραν ἐν τῷ ἱερῷ ἐκαθεζόμην διδάσκων καὶ οὐκ ἐκρατήσατέ με. 26.56. τοῦτο δὲ ὅλον γέγονεν ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον.

E clearly indicates the absence of the core of this passage: "He deceptively cut out what Peter did, when he struck and severed the ear of the slave of the high priest" / παρέκοψεν ὃ ἐποίησε Πέτρος, ὅτε ἐπάταξε καὶ ἀφείλετο τὸ οὖς τοῦ δούλου τοῦ ἀρχιερέως (*Pan.* 42.11.6 ξζ (67); 42.11.17 Σχ. ξζ (67); GCS 31:116, 151). In the elenchus, E specifies that "the lord taking again the ear healed it" / τὸ ὠτίον ὁ κύριος πάλιν λαβὼν ἰάσατο (*Pan.* 42.11.17 Ἐλ. ξζ (67); GCS 31:151). Lk2 22.49 is unattested, 22.50–51 were not present, and 22.52–53 are unattested according to *R* (433), but all of this content was likely not present in Ev. Most likely E was referring to the whole passage as absent by shorthand reference to its most memorable and distinctive elements. Throughout the entire passage we find a dense cluster of Lk2 characteristic features: lemmata such as the participial form of "see" / , and "chief-priest" / (*bis*) (IDD 1.1); nominative participle + δέ introductory bigrams (*bis*), accusative πρός / πρός@pa with a verb of speaking (IDD 1.2); and an early orthodox focus on pacifism (IDD 1.4).

SQE. Shorthand	Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
A332. Sanhedrin trial	22.63–64, 66–67, 69–71	14.53–72	26.57–68	18.13–24, 25–27, 2.9		22.54–71
A333. Peter's denial		14.66–72	26.69–75			22.56–62

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
22.54–62	14.66. καὶ ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ ἔρχεται μία τῶν παιδισκῶν τοῦ ἀρχιερέως 14.67. καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον ἐμβλέψασα αὐτῷ λέγει· καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ ἦσθα τοῦ Ἰησοῦ. 14.68. ὁ δὲ ἠρνήσατο λέγων· οὔτε οἶδα οὔτε ἐπίσταμαι σὺ τί λέγεις. καὶ ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον [καὶ ἀλέκτωρ ἐφώνησεν]. 14.69. καὶ ἡ παιδίσκη ἰδοῦσα αὐτὸν ἤρξατο πάλιν λέγειν τοῖς παρεστῶσιν ὅτι οὗτος ἐξ αὐτῶν ἐστιν. 14.70. ὁ δὲ πάλιν ἠρνεῖτο. καὶ μετὰ μικρὸν πάλιν οἱ παρεστῶτες ἔλεγον τῷ Πέτρῳ· ἀληθῶς ἐξ αὐτῶν εἶ, καὶ γὰρ Γαλιλαῖος εἶ. 14.71. ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύναι ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον τοῦτον ὃν λέγετε. 14.72. καὶ εὐθὺς ἐκ δευτέρου ἀλέκτωρ ἐφώνησεν. καὶ ἀνεμνήσθη ὁ Πέτρος τὸ ῥῆμα ὡς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δὶς τρίς με ἀπαρνήσῃ· καὶ ἐπιβαλὼν ἔκλαιεν.	26.69. ὁ δὲ Πέτρος ἐκάθητο ἔξω ἐν τῇ αὐλῇ· καὶ προσῆλθεν αὐτῷ μία παιδίσκη λέγουσα· καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Γαλιλαίου. 26.70. ὁ δὲ ἠρνήσατο ἔμπροσθεν πάντων λέγων· οὐκ οἶδα τί λέγεις. 26.71. ἐξελθόντα δὲ εἰς τὸν πυλῶνα εἶδεν αὐτὸν ἄλλη καὶ λέγει τοῖς ἐκεῖ· οὗτος ἦν μετὰ Ἰησοῦ τοῦ Ναζωραίου. 26.72. καὶ πάλιν ἠρνήσατο μετὰ ὅρκου ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. 26.73. μετὰ μικρὸν δὲ προσελθόντες οἱ ἑστῶτες εἶπον τῷ Πέτρῳ· ἀληθῶς καὶ σὺ ἐξ αὐτῶν εἶ, καὶ γὰρ ἡ λαλιά σου δῆλόν σε ποιεῖ. 26.74. τότε ἤρξατο καταθεματίζειν καὶ ὀμνύειν ὅτι οὐκ οἶδα τὸν ἄνθρωπον. καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. 26.75. καὶ ἐμνήσθη ὁ Πέτρος τοῦ ῥήματος Ἰησοῦ εἰρηκότος ὅτι πρὶν ἀλέκτορα φωνῆσαι τρὶς ἀπαρνήσῃ με· καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς.			Lk2 22.54. συλλαβόντες δὲ αὐτὸν ἤγαγον καὶ εἰσήγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως· ὁ δὲ Πέτρος ἠκολούθει μακρόθεν. Lk2 22.55. περιαψάντων δὲ πῦρ ἐν μέσῳ τῆς αὐλῆς καὶ συγκαθισάντων ἐκάθητο ὁ Πέτρος μέσος αὐτῶν. Lk2 22.56. ἰδοῦσα δὲ αὐτὸν παιδίσκη τις καθήμενον πρὸς τὸ φῶς καὶ ἀτενίσασα αὐτῷ εἶπεν· καὶ οὗτος σὺν αὐτῷ ἦν. Lk2 22.57. ὁ δὲ ἠρνήσατο λέγων· οὐκ οἶδα αὐτόν, γύναι. Lk2 22.58. καὶ μετὰ βραχὺ ἕτερος ἰδὼν αὐτὸν ἔφη· καὶ σὺ ἐξ αὐτῶν εἶ. ὁ δὲ Πέτρος ἔφη· ἄνθρωπε, οὐκ εἰμί. Lk2 22.59. καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς ἄλλος τις διϊσχυρίζετο λέγων· ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ ἦν, καὶ γὰρ Γαλιλαῖός ἐστιν. Lk2 22.60. εἶπεν δὲ ὁ Πέτρος· ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις. καὶ παραχρῆμα ἔτι λαλοῦντος αὐτοῦ ἐφώνησεν ἀλέκτωρ. Lk2 22.61. καὶ στραφεὶς ὁ κύριος ἐνέβλεψεν τῷ Πέτρῳ, καὶ ὑπεμνήσθη ὁ Πέτρος τοῦ ῥήματος τοῦ κυρίου ὡς εἶπεν αὐτῷ ὅτι πρὶν ἀλέκτορα φωνῆσαι σήμερον ἀπαρνήσῃ με τρίς. Lk2 22.62. καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς.

Lk2 22.52–62 are unattested according to *R* (433). Any decision about restoring any of this content hinges significantly on one's evaluation of 𝔓⁶⁹ as a possible witness to Ev 22.58–62. These verses evidence many characteristic LkR2 features: the participial form of "seeing" / (*bis*), "word" / ῥῆμα (IDD 1.1); nominative participle + then / @vp\w+ δέ introductory bigrams, a lemma with the root "turn" / στρέφ (IDD 1.2); chronological references (IDD 1.4).

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 22.63. οἱ συνέχοντες ἐνέπαιζον δέροντες ⟨καὶ⟩ QnLk1 22.64. ⸌⸋τύπτοντες⸌⸍ ⟨καὶ⟩ λέγοντες προφήτευσον τίς ἐστιν ὁ παίσας σε;					Lk2 22.63. καὶ οἱ ἄνδρες <u>οἱ συνέχοντες</u> αὐτὸν <u>ἐνέπαιζον</u> αὐτῷ <u>δέροντες</u>, Lk2 22.64. καὶ <u>περικαλύψαντες</u> αὐτὸν ἐπηρώτων <u>λέγοντες·</u> προφήτευσον, τίς ἐστιν ὁ <u>παίσας σε</u>;

Lk1 22.63–64 are together quoted verbatim in Greek by E: "Those who had seized him mocked, beating and smiting and saying, 'Prophesy who is the one who disciplined you?'" / οἱ συνέχοντες ἐνέπαιζον δέροντες καὶ τύπτοντες καὶ λέγοντες προφήτευσον τίς ἐστιν ὁ παίσας σε; (*Pan.* 42.11.6 ξη (68); 42.11.17 Σχ. ξη (68); GCS 31:116, 151). In the elenchus, E provides a blend of paraphrase and quotation: "That they seized and mocked and beat and smote and 'prophesy who is the one who disciplined you', this was not appearance, but demonstrative of bodily joint and enfleshed substance" / ὅτι τὸ συνέχοντες καὶ τὸ ἐνέπαιζον καὶ τὸ δεῖραι καὶ τὸ τύψαι καὶ τὸ προφήτευσον τίς ἐστιν ὁ παίσας σε, τοῦτο οὐ δόκησις ἦν, ἀλλὰ ἁφῆς ἐστι σωματικῆς καὶ ἐνσάρκου ὑποστάσεως δηλωτικόν (*Pan.* 42.11.17 Ἔλ. ξη (68); GCS 31:151). The emendation and upgrade of τύπτοντες is based verbatim on E, where *R* had downgraded and transformed the participle into an imperfect active verb, "they were smiting" / ἔτυπτον (6.4.68, 433).

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
22.65					Lk2 22.65. καὶ ἕτερα πολλὰ βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.

Lk2 22.65 is unattested according to *R* (433). It was likely not present, reflecting typical LkR2 vocabulary such as ἕτερα instead of ἄλλα for "other", the lemma "blaspheme" / βλασφημέω and the tendency toward Christological heightening implicit in the latter word.

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 22.66. ⟨καὶ⟩ ἀπήγαγον ⟨αὐτὸν⟩ εἰς τὸ συνέδριον					Lk2 22.66. καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ πρεσβυτέριον τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν

Lk1 22.66 is attested in T: "after he was brought to an assembly" / *perductus in consessum* (*Marc.* 4.41.2; SC 456:506; Evans 495).

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 22.67. 《καὶ λέγουσιν》 σὺ εἶ ὁ χριστός; 《καὶ λέγει》 ἐὰν ⸆ἐρῶ⸆ ὑμῖν οὐ ⸆πιστεύσετε⸆ 22.68 not present in QnLk1	Mk1 14.61b. πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν καὶ λέγει αὐτῷ· σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ; Mk1 14.62a. ὁ δὲ Ἰησοῦς εἶπεν· ἐγώ εἰμι,	Mt1 26.63b. καὶ ὁ ἀρχιερεὺς εἶπεν αὐτῷ· ἐξορκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος ἵνα ἡμῖν εἴπῃς εἰ σὺ εἶ ὁ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ. Mt1 26.64a. λέγει αὐτῷ ὁ Ἰησοῦς· σὺ εἶπας.			Lk2 22.67. λέγοντες· εἰ σὺ εἶ ὁ χριστός, εἰπὸν ἡμῖν. εἶπεν δὲ αὐτοῖς· ἐὰν ὑμῖν εἴπω, οὐ μὴ πιστεύσητε· Lk2 22.68. ἐὰν δὲ ἐρωτήσω, οὐ μὴ ἀποκριθῆτε.

Lk1 22.67 is summarized and quoted by T: "he is asked whether he is Christ... 'If in fact I tell you', he says, 'you will not believe'" / *an ipse esset Christus interrogator... si dixero enim inquit vobis non credetis* (*Marc.* 4.41.3; SC 456:506; Evans 495). We correct the subjunctives to indicatives based on T quotation. The emphatic double negative plus subjunctive construction, "will never believe" / οὐ@b μή@x πιστεύω@, is restored by *R* (433, judged as very likely), but this lacks support in T's attestation and is instead characteristic of Lk2 (IDD 1.2). *V* (234*) only restores μὴ and not οὐ.

Lk2 22.68 is unattested according to *R* (433), but it was likely not present. It is redundant, lacks support in any other strata, and invites a Socratic dialogue that does not take place.

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 22.69. ἀπὸ τοῦ νῦν ⸀δὲ⸀ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ	Mk1 14.62b. καὶ ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ.	Mt1 26.64b. πλὴν λέγω ὑμῖν· ἀπ' ἄρτι ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον ἐκ δεξιῶν τῆς δυνάμεως καὶ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ.			Lk2 22.69. ἀπὸ τοῦ νῦν δὲ ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου καθήμενος ἐκ δεξιῶν τῆς δυνάμεως τοῦ θεοῦ.

Lk1 22.69 is by T, once as a quotation, and again as a paraphrase: "'Henceforth', he says, 'the son of man will be seated at the right side of god's power'" / *abhinc inquit erit filius hominis sedens ad dexteram virtutis dei* (*Marc.* 4.41.4; SC 456:506; Evans 496); "without doubt god's son, to be seated at god's right side" / *sine dubio dei filium sessurum ad dei dexteram* (*Marc.* 4.42.1; SC 456:510; Evans 498).

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 22.70. 《καὶ λέγουσιν》 σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; ‹ὁ δὲ ἔφη› ὑμεῖς λέγετε					Lk2 22.70. εἶπαν δὲ πάντες· σὺ οὖν εἶ ὁ υἱὸς τοῦ θεοῦ; ὁ δὲ πρὸς αὐτοὺς ἔφη· ὑμεῖς λέγετε ὅτι ἐγώ εἰμι.

Lk1 22.70 is repeatedly restated and quoted by T: "'Therefore', they said, 'you are the son of god'" / *ergo inquiunt tu dei filius es* (*Marc.* 4.41.5; SC 456:508; Evans 498); "But he responded, 'You have said, just so'... 'Therefore you are the son of god'... 'Therefore you are the son of god'... 'You have said'" / *sed respondit vos dicitis quasi... ergo tu filius dei es... ergo tu dei es filius... vos dicitis* (*Marc.* 4.41.5; SC 456:508; Evans 498); "'You have said'" / *vos dicitis* (*Marc.* 4.42.1; SC 456:510; Evans 498).

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
22.71 not present in QnLk1					Lk2 22.71. οἱ δὲ εἶπαν· τί ἔτι ἔχομεν μαρτυρίας χρείαν; αὐτοὶ γὰρ ἠκούσαμεν ἀπὸ τοῦ στόματος αὐτοῦ. [CINP]

Lk2 22.71 was not likely not present in Ev. *V* (234*) and *Ts* (124) both read it as unattested. Braun (SC 456:509n6) read it as implicit in the closing summary of 22.70, "And so this was his proclamation, so that they persisted in that which his proclamation meant" / *et adeo sic fuit pronuntiatio eius ut perseveraverint in eo quod pronuntiatio sapiebat* (*Marc.* 4.41.5; SC 456:508; Evans 498). Perhaps influenced by Braun, *R* has it as attested but "no insight into wording can be gained" (433). The action of the interlocutors in QnLk1 23.1 to take him to Pilate is itself a response that makes good sense of T's summary. Furthermore, Lk2 22.71 has a dense cluster of characteristic features: the feminine lemma for "witness" / μαρτυρία (contrasted with the neuter μαρτύριον in Qn 21.13 and Lk1 5.14, 9.5), as well as the lemmata "necessity" / χρεία , "for" / γὰρ, and "mouth" / στόμα (IDD 1.1).

SQE. Shorthand	Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
A334/A336. Pilate trial	23.1–3	15.2–5	27.11–14	18.29–38, 19.8–15		23.1–5

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 23.1. ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλᾶτον					Lk2 23.1. καὶ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν ἤγαγον αὐτὸν ἐπὶ τὸν Πιλᾶτον.

Lk1 23.1–2 is briefly paraphrased by T, "For when he was brought over to Pilate they began to press that he said he was messiah / *perductum enim illum ad Pilatum onerare coeperunt quod se regem diceret Christum* (*Marc.* 4.42.1; SC 456:512; Evans 498). The opening phrase is omitted as characteristic LkR2, including the lemmata "all" / ἅπας and "multitude" / πλῆθος (IDD 1.1) and the collective action of a crowd (IDD 1.4). The opening verb makes perfect sense on its own as the action of the sanhedrin mentioned in the previous passage.

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 23.2. 《καὶ λέγουσιν》 τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος καὶ καταλύοντα τὸν νόμον καὶ τοὺς προφήτας 《καὶ》 ⌜ᶜκελεύονταᵓ φόρους ᶠμὴ δοῦναιᵃᵓ καὶ ἀποστρέφοντα τὰς γυναῖκας καὶ τὰ τέκνα		———			Lk2 23.2. ἤρξαντο δὲ κατηγορεῖν αὐτοῦ λέγοντες· τοῦτον εὕραμεν διαστρέφοντα τὸ ἔθνος ἡμῶν καὶ κωλύοντα φόρους Καίσαρι διδόναι καὶ λέγοντα ἑαυτὸν χριστὸν βασιλέα εἶναι.

Lk1 23.2 is briefly summarized by T (quoted above), but far more thoroughly attested by E, who devotes two scholia to detail his claim that Marcion added two phrases to this verse: "He added after 'we find this one corrupting the nation', 'and destroying the law and the prophets'" / προσέθετο μετὰ τό τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος καὶ καταλύοντα τὸν νόμον καὶ τοὺς προφήτας (*Pan.* 42.11.6 ξθ (69); 42.11.17 Σχ. ξθ (69); GCS 31:116, 151); "An addition after 'ordering not to give tributes', 'and turning aside the women and the children'" / προσθήκη μετὰ τό κελεύοντα φόρους μὴ δοῦναι καὶ ἀποστρέφοντα τὰς γυναῖκας καὶ τὰ τέκνα (*Pan.* 42.11.6 ο (70); 42.11.17 Σχ. ο (70); GCS 31:116, 152). The elenchus for the first scholion repeats and expands the claim of insertion: "For here you add what has not been written, flattering yourself... saying that 'we have found this one destroying the law and the prpohets', the opposite of this refutes you... since the savior himself said, 'I have not come to destroy the law and the prophets, but to fulfill'. Therefore, the same one who says, 'I have not come to destroy' cannot be accused of destroying. For the saying was not thus, but 'We have found this one turning aside the people, calling himself messiah king" / ὅταν γὰρ ἐνταῦθα προσθείης τὸ μὴ γεγραμμένον, συκοφαντῶν σεαυτόν... λέγων ὅτι τοῦτον ηὕραμεν καταλύοντα τὸν νόμον καὶ τοὺς προφήτας, τὸ ἀντίζυγον τούτου ἐλέγξει σε... αὐτοῦ τοῦ σωτῆρος λέγοντος οὐκ ἦλθον καταλῦσαι τὸν νόμον καὶ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι οὐ δύναται τοίνυν ὁ αὐτὸς <ὁ> λέγων οὐκ ἦλθον καταλῦσαι διὰ τὸ καταλύειν κατηγορεῖσθαι. οὐ γὰρ εἶχεν οὕτως τὸ ῥητόν, ἀλλά ηὕραμεν τοῦτον διαστρέφοντα τὸν λαόν, λέγοντα ἑαυτὸν Χριστὸν βασιλέα (*Pan.* 42.11.17 Ἔλ. ξθ (69); GCS 31:151). The second elenchus briefly retorts: "for Jesus did not turn aside the women and the children" / οὐ γὰρ ἀπέστρεψεν Ἰησοῦς γυναῖκας ἢ τέκνα (*Pan.* 42.11.17 Ἔλ. ο (70); GCS 31:152). The opening two words "they started to accuse" / ἤρξαντο κατηγορεῖν as reconstructed by *V* (235*) and *R* (5.94, 433, var. ἔρξαντο) do have a reasonable basis in T's phrase, "they began to oppress" / *onerare coeperunt* (see Lk1 23.1). However, both lemmata are highly characteristic of LkR2: "start/rule" / ἄρχω and "accuse" / κατηγορέω (IDD 1.1), especially when combined as a dramatic cue of a speech opening (IDD 1.2), leading us to read T's phrasing as reflecting his own habits and making an improvised restoration to Lk1 of a customary Qn active verb of speaking, "they say" / λέγουσιν. The closing phrase "and calling himself the anointed" / καὶ λέγοντα ἑαυτὸν χριστὸν is not only unattested for Ev by T and E, but directly noted by E as an alternative, correct reading found in canonical Luke. Contrary to several Ev editors, we thus omit it, based on E and on its use of the characteristic Lk2 reflexive pronoun "himself" / ἑαυτοῦ (IDD 1.1). Note the similarity of the mention of "the law and the prophets" to 4 Mac 18.10: ὃς ἐδίδασκεν ὑμᾶς ἔτι ὢν σὺν ὑμῖν τὸν νόμον καὶ τοὺς προφήτας.

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 23.3· ὁ δὲ Πιλᾶτος ⸂ἠρώτησεν⸃ σὺ εἶ ⸂ὁ χριστός⸃; σὺ λέγεις		_____			Lk2 23.3· ὁ δὲ Πιλᾶτος ἠρώτησεν αὐτὸν λέγων· σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη· σὺ λέγεις.

Lk1 23.3 is closely paraphrased and quoted in T: "Then Pilate asked, 'Are you messiah?' Then: 'You say'" / *Pilato quoque interroganti tu es Christus? proinde tu dicis* (*Marc.* 4.42.1; SC 456:512; Evans 498).

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
23.4–5 not present in QnLk1					Lk2 23.4· ὁ δὲ Πιλᾶτος εἶπεν πρὸς τοὺς ἀρχιερεῖς καὶ τοὺς ὄχλους· οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀνθρώπῳ τούτῳ. [CINP] Lk2 23.5· οἱ δὲ ἐπίσχυον λέγοντες ὅτι ἀνασείει τὸν λαὸν διδάσκων καθ᾽ ὅλης τῆς Ἰουδαίας, καὶ ἀρξάμενος ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε. [CINP]

Lk2 23.4–5 is unattested according to *R* (434), but it was likely not present. These verses contain an extremely dense cluster of characteristic LkR2 features: the lemmata "chief-priest" / ἀρχιερεύς, "people" / λαός, and "guilty" / αἴτιος (IDD 1.1); a focus on affairs of state, additional third parties, collective speech, and its evocation of a potentially threatening mob, gratuitous geographical references, rhetorical exaggeration/dramatization, the official pronouncement of innocence, and the imitation of Socrates (IDD 1.4). About the latter, see Greg Sterling, "*Mors philosophi:* The Death of Jesus in Luke", *HThR* 94.4 (2002) 383–402.

SQE. Shorthand	Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
A337. Herod trial	23.7–9	15.3–4	27.12			23.6–12

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
23.6[303]					Lk2 23.6. Πιλᾶτος δὲ ἀκούσας ἐπηρώτησεν εἰ ὁ ἄνθρωπος Γαλιλαῖός ἐστιν, [CINP]

Lk2 23.6 is unattested according to *R* (5.95, 264n414), but this verse was likely not present in Lk1. It reflects instead characteristic LkR2 transitional phrasing, affairs of state and Roman jurisprudence (IDD 1.4), essentially providing a legal justification of jurisdiction as necessitating the transfer of the case of Jesus from Pilate to Herod and back. Similar legal transfers based on jurisdiction are repeatedly portrayed in the case of Paul in Acts and likely owe to the influence of the policies of Pliny the Younger on Lk2/Ac, on which see Mark G. Bilby, "Pliny's Correspondence and the Acts of the Apostles: An Intertextual Relationship?", in Joseph Verheyden and John S. Kloppenborg, ed., Luke *on Jesus, Paul and Christianity: What Did He Really Know?*, BTS 29 (Leuven: Peeters, 2017) 147–69, doi.org/10.5281/zenodo.3745661.

303

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
23.7a not present in QnLk1 QnLk1 23.7b. ἀνέπεμψεν αὐτὸν ᵗτῷ Ἡρῴδῃ᷅³⁰⁴ 23.7c not present in QnLk1		————			Lk2 23.7· καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας Ἡρῴδου ἐστὶν ἀνέπεμψεν αὐτὸν πρὸς Ἡρῴδην, ὄντα καὶ αὐτὸν ἐν Ἱεροσολύμοις ἐν ταύταις ταῖς ἡμέραις.

Lk1 23.7b is attested in T: "For when he was sent as if a gift from Pilate to Herod" / *nam et Herodi velut munus a Pilato missus* (*Marc.* 4.42.3; SC 456:512; Evans 498). The correction is based on the use of the dative article and form for Herod's name in T and D, corroborated by *N* (184), is distinct from the characteristic LkR2 use of the "unto" + accusative noun bigram / πρός@pa \w+@na (IDD 1.2) which is anachronistically applied by *V* (235*), *R* (434), and *K* (1175).

---

³⁰⁴ Lk1 23.7b is attested in T: "For when he was sent as if a gift from Pilate to Herod" / *nam et Herodi velut munus a Pilato missus* (*Marc.* 4.42.3; SC 456:512; Evans 498). The correction is based on the use of the dative article and form for Herod's name in T and D, corroborated by *N* (184), is distinct from the characteristic LkR2 use of the "unto" + accusative noun bigram / πρός@pa \w+@na (IDD 1.2) which is anachronistically applied by *V* (235*), *R* (434), and *K* (1175).

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 23.8a. ὁ Ἡρῴδης ⸢εἶδεν⸣ τὸν Ἰησοῦν 《καὶ》 ⸢ηὐφράνθη⸣ 23.8b not present in QnLk1					Lk2 23.8a. ὁ δὲ Ἡρῴδης ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν, Lk2 23.8b. ἦν γὰρ ἐξ ἱκανῶν χρόνων θέλων ἰδεῖν αὐτὸν διὰ τὸ ἀκούειν περὶ αὐτοῦ καὶ ἤλπιζέν τι σημεῖον ἰδεῖν ὑπ᾽ αὐτοῦ γινόμενον. [CINP]

Lk1 23.8a is attested in T: "Herod was delighted at last by the sight of Jesus" / *delectatus est denique Herodes viso Iesu* (*Marc.* 4.42.3; SC 456:512; Evans 500). Evans (501) and *R* (5.95; 434) read *delectatus* incorrectly as a superlative, when it is a perfect participle. Thus, *contra* R, it not an attestation of "exceedingly" / λίαν, a word omitted from the reconstruction as a characteristic Lk2 exaggeration. *V* and *R* both apply the characteristic Lk2 lemma for "rejoice" / χαίρω (IDD 1.1), but the lemma εὐφραίνω is a more reasonable rendering, both because it is clearly attested elsewhere in Greek for QnLk1 (16.19), and because the Vulgate translates εὐφραίνω with *delectatus* in 1 Mac 11.44 and Ps 76.4, while instances of χαίρω in the LXX tend to be translated into Latin with the verbs *gaudeo* (Gen 45.16, 1 Mac 10.26, etc.) or *laeto* (Ex 4.14, 1 Sam 19.5, etc.).

Lk2 23.8b is unattested for Ev, and it was likely not present in Lk1. It contains a compact cluster of several characteristic Lk2 features: the lemmata "sufficient" / ἱκανός, "time" / χρόνος, "hope" / ἐλπίζω, and the participial form of γίνομαι (IDD 1.1); the periphrastic participle, here split, but cp. 'εἰμί@\w+ \w+@vp (IDD 1.2); and internal character motivation/intention (IDD 1.4).

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
QnLk1 23.9. ⌐αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ⌐ 23.10–12 not present in QnLk1	15.3. καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά. 15.4. ὁ δὲ Πιλᾶτος πάλιν ἐπηρώτα αὐτὸν λέγων· οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε πόσα σου κατηγοροῦσιν.	27.12. καὶ ἐν τῷ κατηγορεῖσθαι αὐτὸν ὑπὸ τῶν ἀρχιερέων καὶ πρεσβυτέρων οὐδὲν ἀπεκρίνατο.			Lk2 23.9. ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς, αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. Lk2 23.10. εἱστήκεισαν δὲ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς εὐτόνως κατηγοροῦντες αὐτοῦ. [CINP] Lk2 23.11. ἐξουθενήσας δὲ αὐτὸν [καὶ] ὁ Ἡρῴδης σὺν τοῖς στρατεύμασιν αὐτοῦ καὶ ἐμπαίξας περιβαλὼν ἐσθῆτα λαμπρὰν ἀνέπεμψεν αὐτὸν τῷ Πιλάτῳ. [CINP] Lk2 23.12. ἐγένοντο δὲ φίλοι ὅ τε Ἡρῴδης καὶ ὁ Πιλᾶτος ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ᾽ ἀλλήλων· προϋπῆρχον γὰρ ἐν ἔχθρᾳ ὄντες πρὸς αὐτούς. [CINP]

Lk1 23.9 is clearly attested by T, "[B]ut he did not hear any voice from him" / *nec vocem ullam ab eo audivit* (*Marc.* 4.42.3; SC 456:512; Evans 500).

Lk2 23.10–12 is unattested together with all of Lk2 23.10–17 according to *R* (434). These verses have numerous LkR2 characteristic features such as: the nominative participle + δέ introductory bigram in 23.11 (IDD 1.2) and affairs of state (IDD 1.4). The claim of newfound political union between Pilate and Herod Antipas could be interpreted as in keeping with the emphasis on reconciliation and harmony in Acts. It could also provide an explanation for Pilate's future death being deserved because of his alliance with Antipas, who was later exiled to Spain for treason against Caligula.

SQE. Shorthand	Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
A338. Pilate exonerates	––––––	––––––		18.36b		23.13–16

Qn (65–69) Lk1 (80s)	Mk1 (75–80)	Mt1 (90s)	John (100–117)	GP (115–117)	Lk2 (117–138)
23.13–16 not present in QnLk1					Lk2 23.13. Πιλᾶτος δὲ συγκαλεσάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς ἄρχοντας καὶ τὸν λαὸν [CINP] Lk2 23.14. εἶπεν πρὸς αὐτούς· προσηνέγκατέ μοι τὸν ἄνθρωπον τοῦτον ὡς ἀποστρέφοντα τὸν λαόν, καὶ ἰδοὺ ἐγὼ ἐνώπιον ὑμῶν ἀνακρίνας οὐθὲν εὗρον ἐν τῷ ἀνθρώπῳ τούτῳ αἴτιον ὧν κατηγορεῖτε κατ᾽ αὐτοῦ. [CINP] Lk2 23.15. ἀλλ᾽ οὐδὲ Ἡρῴδης, ἀνέπεμψεν γὰρ αὐτὸν πρὸς ἡμᾶς, καὶ ἰδοὺ οὐδὲν ἄξιον θανάτου ἐστὶν πεπραγμένον αὐτῷ. [CINP] Lk2 23.16. παιδεύσας οὖν αὐτὸν ἀπολύσω. [CINP]

